λύθη τὸ ψήφισμα, τοῦ μὴ κωμῳδεῖν, γραφὲν ἐπὶ Μορυχίδου. ἴσχυσεν ἐκεῖνόν τε τὸν ἐνιαυτὸν, καὶ δύο τοὺς ἑξῆς, Ἐπιγένους τε καὶ Θεοδώρου, μεθ' οὓς ἐπ' Εὐθυμένους κατελύθη. Διὰ τῶν καϋστρίων.] Καΰστριος ποταμὸς τῆς Λυδίας περὶ Μίλητον πλησίον Λυδίας. παρ' ᾧ καὶ ὁ Ἄσιος λειμών.

A ἔνθα καὶ χῆνες εἰσὶ διαιτώμενοι. καὶ Ὅμηρος, χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων. Ἀσίῳ ἐν λειμῶνι Καϋστρίου ἀμφὶ ῥέεθρα. γενικὴ δέ ἐστι τὸ, ἀσίω. Ἐσκηνημένοι] κέκλιται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. εἰ γὰρ ἦν ἀπὸ τῆς τρίτης ἦν ἂν διὰ τοῦ ω. ὡς κεχρυσωμένοι.

Ἀπολλύμενοι. Δι. σφόδρα γὰρ ἐσωζόμην ἐγὼ,
Παρὰ τὴν ἔπαλξιν, ἐν φορυτῷ κατακείμενος.
Πρ. Ξενιζόμενοι δὲ, πρὸς βίαν ἐπίνομεν
Ἐξ ὑαλίνων ἐκπωμάτων, καὶ χρυσίδων
Ἄκρατον οἶνον ἡδύν. Δι. ὦ Κραναὰ πόλις,
Ἆρ' αἰσθάνει τὸν κατάγελων τῶν πρέσβεων;
Κη. Οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους
Τοὺς πλεῖστα δυναμένους καταφαγεῖν τε καὶ
πιεῖν.
Δι. Ἡμεῖς δὲ λαικαστάς τε καὶ καταπύγονας.
Πρ. Ἔτει τετάρτῳ δ' εἰς τὰ βασίλει' ἤλθομεν,
Ἀλλ' εἰς ἀπόπατον ᾤχετο, στρατιὰν λαβὼν,
Κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν.
Δι. Πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν;
Πρ. Τῇ πανσελήνῳ, κᾆτ' ἀπῆλθεν οἴκαδε,
Εἶτ' ἐξένιζε, παρετίθει δ' ἡμῖν ὅλους
Ἐκ κριβάνου βοῦς. Δι. καὶ τίς εἶδε πώποτε
Βοῦς κριβανίτας, τῶν ἀλαζονευμάτων.

Malè perditi. DI. saluus igitur eram ego, cùm
super
Virgulta recubarem sine propugnaculo.
B LE. Excepti hospitio, vinum prædulce ac merum
E poculis vitreis, & aureis scyphis
Bibimus pro viribus. DI. ô hirsuta ciuitas,
Non tu legatorum sentis ludibrium?
PR. Nam Barbari solos hos fortes iudicant,
Qui potare & vorare possunt plurimùm.
DI. At nos cinædos & pathicos præponimus.
LE. Anno demum quarto venimus in regiam.
Sed sumto exercitu in latrinam iuerat:
C Et octo mensibus cacabat aureos
Super montes. DI. & quando clausit podicem?
LE. In plenilunio: postea rediit domum:
Nósque hospitio excepit, bouésque è clibano
Apposuit integros. DI. & quisquam vnquam
audiit
De clibanario boue? quæ hæc iactantia 'st?

Σχόλια. Σφόδρα γὰρ ἐσωζόμην.] ἐκ τοῦ ἐναντίου ἀπήντησεν ἀγανακτῶν. εἰ γὰρ ὑμεῖς ἀπόλλυσθε οὕτω διάγοντες, ἐσωζόμην ἄρα ἐγὼ πολιορκούμενος ὑπὸ Λακεδαιμονίων, κατακείμενος καὶ καθεύδων ἐν τῷ τείχει ἐπὶ φρυγάνων καὶ καλάμης καὶ συρφετῶν. τὸ οὖν ἐσωζόμην ἐν εἰρωνείᾳ λέγει.

BISETVS. Παρὰ τὴν ἔπαλξιν] ἐπάλξεις, οἱ τῶν τειχῶν, καὶ τῶν πύργων προμαχεῶνες, παρὰ τὸ ἄλκω, ἄλξω, ὃ δηλοῖ τὸ βοηθῶ, καὶ τὸ ἀμύνω.

Σχόλια. Ξενιζόμενοι δὲ,] προτρεπόμενοι εἰς τὰ ξένα βρώματα τοῦ βασιλέως τῶν Περσῶν.

BISETVS. Πρὸς βίαν ἐπίνομεν] οὐ νοητέον ταῦτα ἀντὶ τοῦ, βεβιασμένοι, καὶ ἀναγκασθέντες ἐπίνομεν. ἀλλὰ τὸ πρὸς βίαν πίνειν ἐνταῦθα οὐδὲν ἄλλο σημαίνει ἢ τὸ ἄδην, κατακόρως, δαψιλῶς πίνειν. ὡσαύτως καὶ ἐν τῷδε τοῦ Ἀλκαίου,
Νῦν χρὴ μεθύσκειν, καὶ χθόνα πρὸς βίαν „ Πίνειν.
καὶ τὰ ἑξῆς. τὸ πρὸς βίαν οὐ ληπτέον ἀντὶ τοῦ βιαίως, ἢ ἀκουσίως, ἀλλ' ἀντὶ τοῦ, κατ' ἰσχὺν, κατὰ δύναμιν, ὅσον σθένος.

Σχόλια. Ὦ Κραναὰ πόλις.] τοῦτο τέτραπται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει. λέγει δὲ Κραναὰς, τὰς Ἀθήνας. ἤτοι τὰς τραχείας. λεπτόγεως γὰρ ἡ Ἀττική. ἢ ἀπὸ Κραναοῦ τινὸς, ὃς ἦν τῶν αὐτοχθόνων εἷς. Οἱ βάρβαροι γὰρ ἄνδρας.] ἄνδρας νῦν ἀντὶ τοῦ ἀνδρείους καὶ γεννάδας. Καταφαγεῖν.] ἐμφατικῶς ἢ κατὰ ὥσπερ καὶ τὸ ἐμφαγεῖν. Λαικαστάς.] τοὺς πόρνους. καὶ ἀλλαχοῦ. κάμπτει δὲ νέας ἀψῖδας ἐπῶν. γογγυλίζει καὶ λαικάζει. καὶ λαικάστρια ἡ πόρνη. Ἀλλ' εἰς ἀπόπατον] ἀπόπατος λέγεται, τῆς ἐκδεδιῃτημένης τροφῆς ἡ ἄφοδος. παρὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ. πάτος γὰρ ἡ κοινὴ ὁδός. καὶ Ὅμηρος. πάτον ἀνθρώπων ἀλεείνων. ἀντὶ δὲ τοῦ εἰπεῖν ἐπὶ πόλεμον ᾤχετο, ἔφη εἰς ἀπόπατον ᾤχετο. Ἐπὶ χρυσῶν ὀρῶν.] παρόσον ἱστόρηται ὁ τῶν Περσῶν βασιλεὺς ὑπὸ χρυσῆν πλάτανον καθεζόμενος. ἔπαιξεν εἰπὼν, ἐπὶ χρυσῶν ὀρῶν. ὅρος δὲ ἡ ἀμίς. ἢ διὰ τὰ ἐν Περσίδι χρυσοῦ μέταλλα. ἄλ-

D λως. δύο ταῦτα ἐδήλωσε διὰ τοῦ εἰπεῖν ἐπὶ χρυσῶν ὀρῶν. τά τε οὐροδόχα ἀγγεῖα, ἃ φασὶν ἀμίδας. καὶ τὰ τῆς Περσίδος ὄρεα, ἐν οἷς φασι γίγνεσθαι τὸν χρυσόν. ὅθεν ἱστοροῦσι τὸν Ξέρξην ὑπὸ χρυσῆν πλάτανον καθεύδειν ὅτε κατὰ τῶν Ἀθηναίων ἐστράτευσεν. ἀντὶ δὲ τοῦ εἰπεῖν πόσου χρόνου συνήγαγε τὸν στρατὸν, τὸν πρωκτὸν εἶπε. Τῇ πανσελήνῳ.] οἱ γὰρ Ἕλληνες πάντα ἔπραττον πρὸς τὴν σελήνην ἀποβλέποντες, καὶ μάλιστα οἱ Λακεδαιμόνιοι. Δάτιδος γοῦν καὶ Ἀντιφέρνους τῶν στρατηγῶν τοῦ Περσῶν βασιλέως εἰς Μαραθῶνα ἐμβεβληκότων, περι-
E μένον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. πρὶν οὖν ἐκείνους παραγενέσθαι κατώρθωσαν οἱ Ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν πρὸς τὸ τοιοῦτον ἔθος. Ἐκ κριβάνου] οὐδετέρως λέγεται τὸ κρίβανον, ὡς μαρτυρεῖ Φερεκράτης. τουτὶ τί ἐστιν. ὡς ἂν ἑκάστῳ τὸ κρίβανον. οὕτω δὲ λέγεται οἱονεὶ κρίβαυνον, ἐν ᾧ αἱ κριθαὶ ὀπτῶνται, βαύνους δὲ, ἔλεγον τὰς καμίνους. Ἀρριανός. οἱ δὲ ξένια ἔφερον θύννους ἐν κριβάνοισιν ὀπτούς. καὶ κριβανίτης ἄρτος ὁ ἐν κριβάνῳ ὠπτημένος. τὴν δὲ τῶν ἄρτων ἐν κριβάνῳ ὄπτησιν, Ἄννος Αἰγύπτιος ἐπενόησεν. ὅ-
F θεν καὶ παροιμία, Ἄννος κρίβανον, ἐπὶ τῶν καινόν τι ἐφευρηκότων. Καὶ τίς εἶδε πώποτε.] λείπει τὸ οὐδείς. ὡς καὶ παρ' Ὁμήρῳ. τίς ἂν τάδε γηθήσειεν ἰδών. προσυπακουστέον γὰρ τὸ οὐδείς.

BISETVS. Τῶν ἀλαζονευμάτων] φεῦ ἕνεκα τῶν ἀλαζονευμάτων. φεῦ τῆς ἀλαζονείας. οὕτω καὶ ἐλλειπτικῶς ἐν τοῖς ἄνω, ὦ κβάτανα τοῦ σχήματος. ἀντὶ τοῦ ὦ Ἐκβάτανα φεῦ τοῦ σχήματος. ἀλαζονεία δὲ διαφέρει τοῦ ἀλαζονεύματος, ὡς ἡ αἰτία τοῦ αἰτιατοῦ, καὶ ἡ ἐνέργεια τοῦ ἐνεργήματος. ἡ γὰρ ἀλαζονεία ἐστὶν ἡ κα-
G κία, εἴτε κακὴ ἕξις ἡ πρὸς τὸ ἀλαζονεύεσθαι, καὶ πρὸς τοὺς λόγους, καὶ πράξεις ἀλαζονικὰς τοὺς ἀνθρώπους ἐποτρύνουσα. τὸ δὲ ἀλαζόνευμα, τὸν λόγον, ἢ τὴν πρᾶξιν, καὶ τὸ τῆς ἀλαζονείας ἔργον σημαίνει. οὕτω καὶ διαφέρει ἡ ἀσέβεια, καὶ τὸ ἀσέβημα. οὐκ ἀεὶ μέντοι αὕτη ἡ διαφορὰ φυλάττεται. ἀλλὰ πολλάκις τούτων σύγχυσιν, καὶ κατάχρησιν εὑρίσκοις.

Πρ. Καὶ